# ΣΩΣΑΝΝΑ

1 ΚΑΙ ἦν ἀνὴρ οἰκῶν ἐν Βαβυλῶνι, καὶ ὄνομα αὐτῷ Ἰωακείμ.

2 καὶ ἔλαβε γυναῖκα, ᾗ ὄνομα Σωσάννα, θυγάτηρ Χελκίου, καλὴ σφόδρα καὶ φοβουμένη τὸν Κύριον·

3 καὶ οἱ γονεῖς αὐτῆς δίκαιοι καὶ ἐδίδαξαν τὴν θυγατέρα αὐτῶν κατὰ τὸν νόμον Μωυσῆ.

4 καὶ ἦν Ἰωακεὶμ πλούσιος σφόδρα, καὶ ἦν αὐτῷ παράδεισος γειτνιῶν τῷ οἴκῳ αὐτοῦ· καὶ πρὸς αὐτὸν προσήγοντο οἱ Ἰουδαῖοι διὰ τὸ εἶναι αὐτὸν ἐνδοξότερον πάντων.

5 καὶ ἀπεδείχθησαν δύο πρεσβύτεροι ἐκ τοῦ λαοῦ κριταὶ ἐν τῷ ἐνιαυτῷ ἐκείνῳ, περὶ ὧν ἐλάλησεν ὁ δεσπότης, ὅτι ἐξῆλθεν ἀνομία ἐκ Βαβυλῶνος ἐκ πρεσβυτέρων κριτῶν, οἳ ἐδόκουν κυβερνᾶν τὸν λαόν.

6 οὗτοι προσεκαρτέρουν ἐν τῇ οἰκίᾳ Ἰωκείμ, καὶ ἤρχοντο πρὸς αὐτοὺς πάντες οἱ κρινόμενοι.

7 καὶ ἐγένετο ἡνίκα ἀπέτρεχεν ὁ λαὸς μέσον ἡμέρας, εἰσεπορεύετο Σωσάννα καὶ περιεπάτει ἐν τῷ παραδείσῳ τοῦ ἀνδρὸς αὐτῆς.

8 καὶ ἐθεώρουν αὐτὴν οἱ δύο πρεσβύτεροι καθ᾽ ἡμέραν εἰσπορευομένην καὶ περιπατοῦσαν καὶ ἐγένοντο ἐν ἐπιθυμίᾳ αὐτῆς.

9 καὶ διέστρεψαν τὸν ἑαυτῶν νοῦν καὶ
ἐξέκλιναν τοὺς ὀφθαλμοὺς αὐτῶν τοῦ μὴ
βλέπειν εἰς τὸν οὐρανόν, μηδὲ μνημονεύειν
κριμάτων δικαίων.

10 καὶ ἦσαν ἀμφότεροι κατανενυγμένοι περὶ
αὐτῆς καὶ οὐκ ἀνήγγειλαν ἀλλήλοις τὴν
ὀδύνην αὐτῶν,

11 ὅτι ᾐσχύνοντο ἀναγγεῖλαι τὴν ἐπιθυμίαν
αὐτῶν ὅτι ἤθελον συγγενέσθαι αὐτῇ.

12 καὶ παρετηροῦσαν φιλοτίμως καθ'
ἡμέραν ὁρᾶν αὐτήν.

13 καὶ εἶπαν ἕτερος τῷ ἑτέρῳ· πορευθῶμεν
δὴ εἰς οἶκον, ὅτι ἀρίστου ὥρα ἐστί. καὶ
ἐξελθόντες διεχωρίσθησαν ἀπ' ἀλλήλων,

14 καὶ ἀνακάμψαντες ἦλθον ἐπὶ τὸ αὐτὸ καὶ
ἀνετάζοντες ἀλλήλους τὴν αἰτίαν,
ὡμολόγησαν τὴν ἐπιθυμίαν αὐτῶν· καὶ τότε
κοινῇ συνετάξαντο καιρὸν ὅτε αὐτὴν
δυνήσονται εὑρεῖν μόνην.

15 καὶ ἐγένετο ἐν τῷ παρατηρεῖν αὐτοὺς
ἡμέραν εὔθετον εἰσῆλθέ ποτε καθὼς ἐχθὲς
καὶ τρίτης ἡμέρας μετὰ δύο μόνων κορασίων
καὶ ἐπεθύμησε λούσασθαι ἐν τῷ παραδείσῳ,
ὅτι καῦμα ἦν.

16 καὶ οὐκ ἦν οὐδεὶς ἐκεῖ πλὴν οἱ δύο
πρεσβύτεροι κεκρυμμένοι καὶ παρατηροῦντες
αὐτήν.

17 καὶ εἶπε τοῖς κορασίοις· ἐνέγκατε δή μοι
ἔλαιον καὶ σμήγματα καὶ τὰς θύρας τοῦ
παραδείσου κλείσατε, ὅπως λούσωμαι.

18 καὶ ἐποίησαν καθὼς εἶπε καὶ ἀπέκλεισαν
τὰς θύρας τοῦ παραδείσου καὶ ἐξῆλθαν κατὰ
τὰς πλαγίας θύρας ἐνέγκαι τὰ
προστεταγμένα αὐταῖς καὶ οὐκ εἴδοσαν τοὺς
πρεσβυτέρους, ὅτι ἦσαν κεκρυμμένοι.
19 καὶ ἐγένετο ὡς ἐξήλθοσαν τὰ κοράσια,
καὶ ἀνέστησαν οἱ δύο πρεσβῦται καὶ
ἐπέδραμον αὐτῇ
20 καὶ εἶπον· ἰδοὺ αἱ θύραι τοῦ παραδείσου
κέκλεινται, καὶ οὐδεὶς θεωρεῖ ἡμᾶς, καὶ ἐν
ἐπιθυμίᾳ σού ἐσμεν· διὸ συγκατάθου ἡμῖν
καὶ γενοῦ μεθ' ἡμῶν·
21 εἰ δὲ μή, καταμαρτυρήσομέν σου ὅτι ἦν
μετὰ σοῦ νεανίσκος καὶ διὰ τοῦτο
ἐξαπέστειλας τὰ κοράσια ἀπὸ σοῦ.
22 καὶ ἀνεστέναξε Σωσάννα καὶ εἶπε· στενά
μοι πάντοθεν· ἐάν τε γὰρ τοῦτο πράξω,
θάνατός μοί ἐστιν, ἐάν τε μὴ πράξω, οὐκ
ἐκφεύξομαι τὰς χεῖρας ὑμῶν.
23 αἱρετώτερόν μοί ἐστι μὴ πράξασαν
ἐμπεσεῖν εἰς χεῖρας ὑμῶν ἢ ἁμαρτεῖν
ἐνώπιον Κυρίου.
24 καὶ ἀνεβόησε φωνῇ μεγάλῃ Σωσάννα,
ἐβόησαν δὲ καὶ οἱ δύο πρεσβῦται κατέναντι
αὐτῆς.
25 καὶ δραμὼν ὁ εἷς ἤνοιξε τὰς θύρας τοῦ
παραδείσου.
26 ὡς δὲ ἤκουσαν τὴν κραυγὴν ἐν τῷ
παραδείσῳ οἱ ἐκ τῆς οἰκίας, εἰσεπήδησαν διὰ
τῆς πλαγίας θύρας ἰδεῖν τὸ συμβεβηκὸς αὐτῇ.
27 ἡνίκα δὲ εἶπαν οἱ πρεσβῦται τοὺς λόγους

αὐτῶν, κατῃσχύνθησαν οἱ δοῦλοι σφόδρα, ὅτι πώποτε οὐκ ἐρρήθη λόγος τοιοῦτος περὶ Σωσάννης.

28 Καὶ ἐγένετο τῇ ἐπαύριον ὡς συνῆλθεν ὁ
λαὸς πρὸς τὸν ἄνδρα αὐτῆς Ἰωακείμ, ἦλθον
οἱ δύο πρεσβῦται πλήρεις τῆς ἀνόμου
ἐννοίας κατὰ Σωσάννης τοῦ θανατῶσαι
αὐτὴν καὶ εἶπαν ἔμπροσθεν τοῦ λαοῦ·
29 ἀποστείλατε ἐπὶ Σωσάνναν θυγατέρα
Χελκίου, ἥ ἐστι γυνὴ Ἰωακείμ· οἱ δὲ
ἀπέστειλαν.
30 καὶ ἦλθεν αὐτὴ καὶ οἱ γονεῖς αὐτῆς καὶ
τὰ τέκνα αὐτῆς καὶ πάντες οἱ συγγενεῖς
αὐτῆς·
31 ἡ δὲ Σωσάννα ἦν τρυφερὰ σφόδρα καὶ
καλὴ τῷ εἴδει.
32 οἱ δὲ παράνομοι ἐκέλευσαν
ἀποκαλυφθῆναι αὐτήν, ἦν γὰρ
κατακεκαλυμμένη, ὅπως ἐμπλησθῶσι τοῦ
κάλλους αὐτῆς·
33 ἔκλαιον δὲ οἱ παρ' αὐτῆς καὶ πάντες οἱ
ἰδόντες αὐτήν.
34 ἀναστάντες δὲ οἱ δύο πρεσβῦται ἐν μέσῳ
τῷ λαῷ ἔθηκαν τὰς χεῖρας ἐπὶ τὴν κεφαλὴν
αὐτῆς·
35 ἡ δὲ κλαίουσα ἀνέβλεψεν εἰς τὸν
οὐρανόν, ὅτι ἦν ἡ καρδία αὐτῆς πεποιθυῖα
ἐπὶ τῷ Κυρίῳ.
36 εἶπον δὲ οἱ πρεσβῦται· περιπατούντων
ἡμῶν ἐν τῷ παραδείσῳ μόνων, εἰσῆλθεν αὕτη

μετὰ δύο παιδισκῶν καὶ ἀπέκλεισε τὰς θύρας
τοῦ παραδείσου καὶ ἀπέλυσε τὰς παιδίσκας·
37 καὶ ἦλθε πρὸς αὐτὴν νεανίσκος, ὃς ἦν
κεκρυμμένος, καὶ ἀνέπεσε μετ' αὐτῆς.
38 ἡμεῖς δὲ ὄντες ἐν τῇ γωνίᾳ τοῦ
παραδείσου, ἰδόντες τὴν ἀνομίαν ἐδράμομεν
ἐπ' αὐτούς· καὶ ἰδόντες συγγινομένους
αὐτούς,
39 ἐκείνου μὲν οὐκ ἠδυνήθημεν ἐγκρατεῖς
γενέσθαι διὰ τὸ ἰσχύειν αὐτὸν ὑπὲρ ἡμᾶς καὶ
ἀνοίξαντα τὰς θύρας ἐκπεπηδηκέναι,
40 ταύτης δὲ ἐπιλαβόμενοι ἐπηρωτῶμεν τίς
ἦν ὁ νεανίσκος,
41 καὶ οὐκ ἠθέλησεν ἀγγεῖλαι ἡμῖν. ταῦτα
μαρτυροῦμεν. καὶ ἐπίστευσεν αὐτοῖς ἡ
συναγωγὴ ὡς πρεσβυτέροις τοῦ λαοῦ καὶ
κριταῖς καὶ κατέκριναν αὐτὴν ἀποθανεῖν.
42 ἀνεβόησε δὲ φωνῇ μεγάλῃ Σωσάννα καὶ
εἶπεν· ὁ Θεὸς ὁ αἰώνιος ὁ τῶν κρυπτῶν
γνώστης, ὁ εἰδὼς τὰ πάντα πρὶν γενέσεως
αὐτῶν,
43 σὺ ἐπίστασαι ὅτι ψευδῆ μου
κατεμαρτύρησαν· καὶ ἰδοὺ ἀποθνήσκω μὴ
ποιήσασα μηδὲν ὧν οὗτοι ἐπονηρεύσαντο
κατ' ἐμοῦ.
44 Καὶ εἰσήκουσε Κύριος τῆς φωνῆς αὐτῆς.
45 καὶ ἀπαγομένης αὐτῆς ἀπολέσθαι, ὁ Θεὸς
ἐξήγειρε τὸ πνεῦμα τὸ ἅγιον παιδαρίου
νεωτέρου, ᾧ ὄνομα Δανιήλ,
46 καὶ ἐβόησε φωνῇ μεγάλῃ· ἀθῷος ἐγὼ ἀπὸ
τοῦ αἵματος ταύτης.

47 ἐπέστρεψε δὲ πᾶς ὁ λαὸς πρὸς αὐτὸν καὶ
εἶπαν· τίς ὁ λόγος οὗτος, ὃν σὺ λελάληκας;
48 ὁ δὲ στὰς ἐν μέσῳ αὐτῶν εἶπεν· οὕτως
μωροὶ οἱ υἱοὶ Ἰσραήλ; οὐκ ἀνακρίναντες οὐδὲ
τὸ σαφὲς ἐπιγνόντες κατεκρίνατε θυγατέρα
Ἰσραήλ;
49 ἀναστρέψατε εἰς τὸ κριτήριον· ψευδῆ
γὰρ οὗτοι κατεμαρτύρησαν αὐτῆς.
50 καὶ ἀνέστρεψε πᾶς ὁ λαὸς μετὰ σπουδῆς.
καὶ εἶπαν αὐτῷ οἱ πρεσβύτεροι· δεῦρο
κάθισον ἐν μέσῳ ἡμῶν καὶ ἀνάγγειλον ἡμῖν,
ὅτι σοὶ δέδωκεν ὁ Θεὸς τὸ πρεσβεῖον.
51 καὶ εἶπε πρὸς αὐτοὺς Δανιήλ·
διαχωρίσατε αὐτοὺς ἀπ' ἀλλήλων μακράν,
καὶ ἀνακρινῶ αὐτούς.
52 ὡς δὲ διεχωρίσθησαν εἷς ἀπὸ τοῦ ἑνός,
ἐκάλεσε τὸν ἕνα αὐτῶν καὶ εἶπε πρὸς αὐτόν·
πεπαλαιωμένε ἡμερῶν κακῶν, νῦν ἥκασιν αἱ
ἁμαρτίαι σου, ἃς ἐποίεις τὸ πρότερον
53 κρίνων κρίσεις ἀδίκους καὶ τοὺς μὲν
ἀθῴους κατακρίνων, ἀπολύων δὲ τοὺς
αἰτίους, λέγοντος τοῦ Κυρίου· ἀθῷον καὶ
δίκαιον οὐκ ἀποκτενεῖς·
54 νῦν οὖν ταύτην εἴπερ εἶδες, εἰπόν· ὑπὸ τί
δένδρον εἶδες αὐτοὺς ὁμιλοῦντας ἀλλήλοις;
ὁ δὲ εἶπεν· ὑπὸ σχῖνον.
55 εἶπε δὲ Δανιήλ· ὀρθῶς ἔψευσαι εἰς τὴν
σεαυτοῦ κεφαλήν· ἤδη γὰρ ἄγγελος Θεοῦ
λαβὼν φάσιν παρὰ τοῦ Θεοῦ σχίσει σε μέσον.
56 καὶ μεταστήσας αὐτὸν ἐκέλευσε

προσαγαγεῖν τὸν ἕτερον· καὶ εἶπεν αὐτῷ·
σπέρμα Χαναὰν καὶ οὐκ Ἰούδα, τὸ κάλλος
ἐξηπάτησέ σε, καὶ ἐπιθυμία διέστρεψε τὴν
καρδίαν σου·
57 οὕτως ἐποιεῖτε θυγατράσιν Ἰσραήλ, καὶ
ἐκεῖναι φοβούμεναι ὡμίλουν ὑμῖν, ἀλλ' οὐ
θυγάτηρ Ἰούδα ὑπέμεινε τὴν ἀνομίαν ὑμῶν.
58 νῦν οὖν λέγε μοι· ὑπὸ τί δένδρον
κατέλαβες αὐτοὺς ὁμιλοῦντας ἀλλήλοις; ὁ δὲ
εἶπεν· ὑπὸ πρῖνον.
59 εἶπε δὲ αὐτῷ Δανιήλ· ὀρθῶς ἔψευσαι καὶ
σὺ εἰς τὴν σεαυτοῦ κεφαλήν· μένει γὰρ ὁ
ἄγγελος τοῦ Θεοῦ τὴν ρομφαίαν ἔχων πρίσαι
σε μέσον, ὅπως ἐξολοθρεύσῃ ὑμᾶς.
60 καὶ ἀνεβόησε πᾶσα ἡ συναγωγὴ φωνῇ
μεγάλῃ καὶ εὐλόγησαν τῷ Θεῷ τῷ σώζοντι
τοὺς ἐλπίζοντας ἐπ' αὐτόν.
61 καὶ ἀνέστησαν ἐπὶ τοὺς δύο πρεσβύτας,
ὅτι συνέστησεν αὐτοὺς Δανιὴλ ἐκ τοῦ
στόματος αὐτῶν ψευδομαρτυρήσαντας, καὶ
ἐποίησαν αὐτοῖς ὃν τρόπον ἐπονηρεύσαντο
τῷ πλησίον,
62 ποιῆσαι κατὰ τὸν νόμον Μωυσῆ, καὶ
ἀπέκτειναν αὐτούς· καὶ ἐσώθη αἷμα ἀναίτιον
ἐν τῇ ἡμέρᾳ ἐκείνῃ.
63 Χελκίας δὲ καὶ ἡ γυνὴ αὐτοῦ ᾔνεσαν τὸν
Θεὸν περὶ τῆς θυγατρὸς αὐτῶν μετὰ Ἰωακεὶμ
τοῦ ἀνδρὸς αὐτῆς καὶ τῶν συγγενῶν πάντων,
ὅτι οὐχ εὑρέθη ἐν αὐτῇ ἄσχημον πρᾶγμα.
64 καὶ Δανιὴλ ἐγένετο μέγας ἐνώπιον τοῦ
λαοῦ ἀπὸ τῆς ἡμέρας ἐκείνης καὶ ἐπέκεινα.

# Η Παλαιά Διαθήκη κατά τη μετάφραση των εβδομήκοντα (Ο') | SEPTUAGINTA
## The Old Testament in Ancient Greek, Septuagint translation

Public Domain

℗ Orthodox Media Network

Language: Ελληνικά (Greek, Ancient)

Dialect: Koine

ORTHODOX MEDIA NETWORK-ΟΡΘΟΔΟΞΟ ΔΙΚΤΥΟ ΕΝΗΜΕΡΩΣΗΣ
A Voice from the Heart of Mount Athos to the World
Orthodox Media Network (https://vivlos.link/DEqNY) was founded on Mount Athos – the only monastic republic in the world – with main mission to promote the Holy Scriptures and preserve the spiritual and cultural heritage of Orthodox monasticism, using mainly the internet.
Since 2010, its founder and General Secretary, Apostolos Vavylis, has become the first person internationally to record the entire Bible in both the original ancient Greek text and its modern Greek translation.
This work – unprecedented in Orthodox tradition – has reached and inspired millions:
* Over 15 million people (estimated) have listened to at least one chapter of the recorded Bible.

* Hundreds of independent accounts across nearly every digital platform, share these recordings in countless forms.
We have never claimed copyright or demanded takedowns of these reproductions — because our goal is not profit, but the free and faithful dissemination of the Word of God and the blessing it brings to the world.
We welcome anyone that would like to publicly share our work with the only condition to publish the present text as a minimum respect to our mission.
* Our vision:

To place a Bible in every Greek-speaking home, wherever it may be on earth.

There are an estimated 17 million Greeks living in nearly 100 countries.
* If you wish to support or partner with us, please contact:

* vivlos.net@gmail.com

The Old Testament (Septuaginta)
<a href="https://youtube.com/playlist?list=PLqOoWYKEqRw2J7wlPCGWIYIRdX4G2USZr&si=98IZ8ZkglX6ll-xI">https://youtube.com/playlist?list=PLqOoWYKEqRw2J7wlPCGWIYIRdX4G2USZr&si=98IZ8ZkglX6ll-xI
We are a voice of Orthodoxy, a witness of the Word, and a blessing to the Nations.

2026-02-12

---

PDF generated using Haiola and XeLaTeX on 13 Feb 2026 from source files dated 12 Feb 2026
ca02bfb2-f119-5bc3-ba15-888748b9800a